# HERODOTUS, HISTORIES, 1.5–7

5. [1] οὕτω μὲν Πέρσαι
λέγουσι γενέσθαι,
καὶ διὰ τὴν Ἰλίου ἅλωσιν
εὑρίσκουσι σφίσι
ἐοῦσαν τὴν ἀρχήν
τῆς ἔχθρης
τῆς ἐς τοὺς Ἕλληνας.

[2] περὶ δὲ τῆς Ἰοῦς
οὐκ ὁμολογέουσι Πέρσῃσι
οὕτω Φοίνικες·
οὐ γὰρ ἁρπαγῇ
σφέας χρησαμένους
λέγουσι
ἀγαγεῖν αὐτήν
ἐς Αἴγυπτον,
ἀλλ᾽ ὡς ἐν τῷ Ἄργεϊ
ἐμίσγετο τῷ ναυκλήρῳ τῆς νέος·

ἐπεὶ δ᾽ ἔμαθε
ἔγκυος ἐοῦσα,
αἰδεομένη τοὺς τοκέας
οὕτω δὴ ἐθελοντήν αὐτήν
τοῖσι Φοίνιξι συνεκπλῶσαι,
ὡς ἂν μὴ
κατάδηλος γένηται.

[3] ταῦτα μέν νυν
Πέρσαι τε καὶ Φοίνικες
λέγουσι·
ἐγὼ δὲ
περὶ μὲν τούτων
οὐκ ἔρχομαι ἐρέων
ὡς οὕτω ἢ ἄλλως κως
ταῦτα ἐγένετο,
τὸν δὲ οἶδα αὐτὸς
πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων
ἐς τοὺς Ἕλληνας,
τοῦτον σημήνας
προβήσομαι
ἐς τὸ πρόσω τοῦ λόγου,
ὁμοίως σμικρὰ καὶ μεγάλα ἄστεα
ἀνθρώπων
ἐπεξιών.

[4] τὰ γὰρ τὸ πάλαι
μεγάλα ἦν,
τὰ πολλὰ σμικρὰ
αὐτῶν γέγονε·
τὰ δὲ ἐπ᾽ ἐμεῦ
ἦν μεγάλα,
πρότερον ἦν σμικρά.

τὴν ἀνθρωπηίην ὦν ἐπιστάμενος
εὐδαιμονίην οὐδαμὰ ἐν τὠυτῷ μένουσαν,
ἐπιμνήσομαι ἀμφοτέρων ὁμοίως.

**EXERCISE**: *Rewrite the following passage by phrase.*

6. [1] Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ
Ἀλυάττεω, τύραννος δὲ ἐθνέων
τῶν ἐντός Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ
μεσαμβρίης μεταξὺ Συρίων τε καὶ Παφλαγόνων
ἐξιεῖ πρὸς βορέην ἄνεμον ἐς τὸν Εὔξεινον
καλεόμενον πόντον.

[2] οὗτος ὁ Κροῖσος
βαρβάρων πρῶτος
τῶν ἡμεῖς ἴδμεν
τοὺς μὲν κατεστρέψατο Ἑλλήνων
ἐς φόρου ἀπαγωγήν,
τοὺς δὲ φίλους προσεποιήσατο.

κατεστρέψατο μὲν
Ἴωνάς τε καὶ Αἰολέας καὶ Δωριέας
τοὺς ἐν τῇ Ἀσίῃ,
φίλους δὲ προσεποιήσατο Λακεδαιμονίους.

[3] πρὸ δὲ τῆς Κροίσου ἀρχῆς
πάντες Ἕλληνες
ἦσαν ἐλεύθεροι·
τὸ γὰρ Κιμμερίων στράτευμα
τὸ ἐπὶ τὴν Ἰωνίην ἀπικόμενον
Κροίσου ἐὸν πρεσβύτερον
οὐ καταστροφὴ ἐγένετο
τῶν πολίων
ἀλλ᾽ ἐξ ἐπιδρομῆς ἁρπαγή.

7. [1] ἡ δὲ ἡγεμονίη
οὕτω περιῆλθε,
ἐοῦσα Ἡρακλειδέων
ἐς τὸ γένος
τὸ Κροίσου,
καλεομένους δὲ Μερμνάδας.

[2] ἦν Κανδαύλης,
τὸν οἱ Ἕλληνές
Μυρσίλον ὀνομάζουσι,
τύραννος Σαρδίων,
ἀπόγονος δὲ Ἀλκαίου
τοῦ Ἡρακλέος.

Ἄγρων μὲν γὰρ
ὁ Νίνου
τοῦ Βήλου
τοῦ Ἀλκαίου
πρῶτος Ἡρακλειδέων
βασιλεὺς ἐγένετο Σαρδίων,
Κανδαύλης δὲ
ὁ Μύρσου ὕστατος.

[3] οἱ δὲ πρότερον Ἄγρωνος βασιλεύσαντες
ταύτης τῆς χώρης
ἦσαν ἀπόγονοὶ
Λυδοῦ τοῦ Ἄτυος,
ἀπ᾽ ὅτευ
ὁ δῆμος Λύδιος
ἐκλήθη
ὁ πᾶς οὗτος,
πρότερον Μηίων καλεόμενος.

[4] παρὰ τούτων
Ἡρακλεῖδαι ἐπιτραφθέντες
ἔσχον τὴν ἀρχήν
ἐκ θεοπροπίου,
ἐκ δούλης τε τῆς Ἰαρδάνου
γεγονότες καὶ Ἡρακλέος,
ἄρξαντες μὲν
ἐπὶ δύο τε καὶ εἴκοσι γενεᾶς ἀνδρῶν
ἔτεα πέντε τε καὶ πεντακόσια,
παῖς παρὰ πατρὸς ἐκδεκόμενος
τὴν ἀρχήν,
μέχρι Κανδαύλεω τοῦ Μύρσου.